λεως οὐδὲν προσήκει καὶ ὃν ἔδει ὑπὸ τοῦ δήμου κρίνε-
σθαι, οὗτος τὸν δῆμον συγκαταλύσας φαίνεται. νῦν
τοίνυν ὑμῖν μεταμελησάτω τῶν πεπραγμένων, καὶ μὴ
ὑπὸ τούτων ἀεὶ κακῶς πάσχοντες ἀνέχεσθε, μηδὲ ἰδίᾳ
μὲν ὀνειδίζετε τοῖς ἀδικοῦσιν, ἐπειδὰν δ' ἐξῇ δίκην παρ'
αὐτῶν λαμβάνειν, ἀποψηφίζεσθε.
31 Καὶ περὶ μὲν τούτων ἱκανά μοι τὰ εἰρημένα· περὶ δὲ
τῶν ἐξαιτησομένων βραχέα πρὸς ὑμᾶς εἰπεῖν βούλομαι.
παρεσκευασμένοι <γάρ> τινές εἰσι καὶ τῶν φίλων καὶ
τῶν τὰ τῆς πόλεως πραττόντων δεῖσθαι ὑπὲρ αὐτοῦ·
ὧν ἐγὼ ἡγοῦμαι ἐνίοις προσήκειν ὑπὲρ τῶν ἑαυτοῖς
πεπραγμένων ἀπολογεῖσθαι πολὺ μᾶλλον ἢ τοὺς ἀδι-
32 κοῦντας σῴζειν προαιρεῖσθαι. δεινὸν δέ μοι δοκεῖ εἶναι,
ὦ ἄνδρες δικασταί, εἰ τούτου μὲν ἑνὸς ὄντος καὶ οὐδὲν
ὑπὸ τῆς πόλεως ἠδικημένου οὐκ ἐπεχείρησαν δεῖσθαι
[ὡς χρὴ] παύσασθαι εἰς ὑμᾶς ἐξαμαρτάνοντα, ὑμᾶς δὲ
τοσούτους ὄντας καὶ ἠδικημένους ὑπὸ τουτουὶ πείσουσιν
33 ὡς οὐ χρὴ δίκην παρ' αὐτοῦ λαμβάνειν. χρὴ τοίνυν,
ὥσπερ καὶ τούτους ὁρᾶτε προθύμως σῴζοντας τοὺς φί-
λους, οὕτως καὶ ὑμᾶς τοὺς ἐχθροὺς τιμωρεῖσθαι, εὖ εἰ-
δότας ὅτι τούτοις πρώτοις ἄνδρες ἀμείνους δόξετε εἶναι,
ἐὰν παρὰ τῶν ἀδικούντων δίκην λαμβάνητε. ἐνθυμεῖσθε
δὲ ὅτι [οὔτε Νικόμαχος] οὐδὲ τῶν αἰτησομένων οὐδεὶς
τοσαῦτα ἀγαθὰ πεποίηκε τὴν πόλιν, ὅσα οὗτος ἠδίκηκεν,
ὥστε πολὺ μᾶλλον ὑμῖν προσήκει τιμωρεῖσθαι ἢ τούτοις
34 βοηθεῖν. εὖ δ' εἰδέναι χρὴ τοὺς αὐτοὺς τούτους, ὅτι
πολλὰ δεηθέντες τῶν κατηγόρων ἡμᾶς μὲν οὐδαμῶς
ἔπεισαν, τῆς δὲ ὑμετέρας ψήφου ἀποπειράσοντες εἰσελη-
λύθασιν εἰς τὸ δικαστήριον, καὶ ἐλπίζουσιν ὑμᾶς ἐξ-
απατήσαντες ἄδειαν εἰς τὸν λοιπὸν χρόνον λήψεσθαι τοῦ
35 ποιεῖν ὅ τι ἂν βούλωνται. ἡμεῖς μὲν τοίνυν οὐκ ἠθε-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/240 UNIVERSITÄT LEIPZIG